δίκαιος ἄρχειν τῆσδ᾽ ἐμῆς ὅδε χθονός.
ἔσται δ᾽ ἀν᾽ Ἑλλάδ᾽ εὐκλεής· οἱ τοῦδε γὰρ
παῖδες γενόμενοι τέσσαρες ῥίζης μιᾶς
ἐπώνυμοι γῆς κἀπιφυλίου χθονὸς
λαῶν ἔσονται, σκόπελον οἳ ναίουσ᾽ ἐμόν.
Τελέων μὲν ἔσται πρῶτος· εἶτα δεύτερος
— — — — — — — — —
Ὅπλητες Ἀργαδῆς τ᾽ ἐμῆς . . ἀπ᾽ αἰγίδος
ἔμφυλον ἕξουσ᾽ Αἰγικορῆς. οἱ τῶνδε δ᾽ αὖ
παῖδες γενόμενοι σὺν χρόνῳ πεπρωμένῳ
Κυκλάδας ἐποικήσουσι νησαίας πόλεις
χέρσους τε παράλους, ὃ σθένος τἠμῇ χθονὶ
δίδωσιν· ἀντίπορθμα δ᾽ ἠπείροιν δυοῖν
πεδία κατοικήσουσιν, Ἀσιάδος τε γῆς
Εὐρωπίας τε· τοῦδε δ᾽ ὀνόματος χάριν
Ἴωνες ὀνομασθέντες ἕξουσιν κλέος.
Ξούθῳ δὲ καὶ σοὶ γίγνεται κοινὸν γένος,
Δῶρος μέν, ἔνθεν Δωρὶς ὑμνηθήσεται
πόλις, κατ᾽ αἶαν Πελοπίαν δ᾽ ὁ δεύτερος
Ἀχαιός, ὃς γῆς παραλίας Ῥίου πέλας
τύραννος ἔσται, κἀπισημανθήσεται
κείνου κεκλῆσθαι λαὸς ὄνομ᾽ ἐπώνυμος.
καλῶς δ᾽ Ἀπόλλων πάντ᾽ ἔπραξε· πρῶτα μὲν
ἄνοσον λοχεύει σ᾽, ὥστε μὴ γνῶναι φίλους·
ἐπεὶ δ᾽ ἔτικτες τόνδε παῖδα κἀπέθου
ἐν σπαργάνοισιν, ἁρπάσαντ᾽ ἐς ἀγκάλας
Ἑρμῆν κελεύει δεῦρο πορθμεῦσαι βρέφος,
ἔθρεψέ τ᾽ οὐδ᾽ εἴασεν ἐκπνεῦσαι βίον.
νῦν οὖν σιώπα, παῖς ὅδ᾽ ὡς πέφυκε σός,
ἵν᾽ ἡ δόκησις Ξοῦθον ἡδέως ἔχῃ,
σύ τ᾽ αὖ τὰ σαυτῆς ἀγάθ᾽ ἔχουσ᾽ ἴῃς, γύναι.

---

1574. *τῆσδ᾽ ἐμῆς B τῆς δ᾽* (γ᾽ *superscr.*) *ἐμῆς C* 1575. *δ᾽*] L. Dindorfius, *τ᾽* libri. 1580. *Ὅπλητες Ἀργαδῆς τ᾽*] Canterus, *ὃ πάντες ἀργαλῆς τ᾽* libri. 1591. *δ᾽*] Barnesius, *γ᾽* libri. 1603. *ἴῃς*] Wakefieldius et Porsonus, *εἴῃς B εἴῃ* (ς *superscr.*) *C*